ΚΕΦ. ΙΔ'.

Περὶ Κομητῶν.

§. ρμ'.

Α'. "Περὶ Κομητῶν δόξα κείσθω Α'ριστοτέλους, καὶ τῶν Σχολαστικῶν, οἷς ἔδοξε ,,ξηρᾶς ἀναθυμιάσεως διάπυρον σύστασιν εἶναι τὸν Κομήτην (1). Ὅταν εἰς τὴν ,,τοιαύτην πύκνωσιν ἐμπέσῃ διὰ τὴν τῶν ἄνωθεν κίνησιν ἀρχὴ πυρώδης, μήτε ,,ὕτω πολλὴ λίαν, ὡστε ταχὺ, καὶ ἐπὶ πολὺ ἐκκαίειν, μήθ' ὕτως ἀσθενὴς, ὡς' ,,ἀποσβεσθῆναι ταχὺ, ἀλλὰ πλείων, καὶ ἐπὶ πολὺ· ἅμα δὲ κάτωθεν συμ- ,,πίπτῃ ἀναβαίνειν εὔκρατον ἀναθυμίασιν, Α'σὴρ τοῦτο γίνεται Κομήτης, ὅπως ,,ἂν τὸ ἀναθυμιώμενον τύχῃ ἐσχηματισμένον. Ἐὰν μὲν γὰρ πάντῃ ὁμοίως, Κο- ,,μήτης· ἐὰν δ' ἐπὶ μῆκος, καλεῖται Πωγωνίας (2)."

Β'. Δόξα Εὐελίου, καὶ Α'ργόλου, καὶ Κεπλέρου, καθ' ὃς ἡ ἐξ Ἡλίου, καὶ τῶν ἄλλων Πλανητῶν ἀναθυμίασις τοὺς Κομήτας συνίστησιν (3).

Γ'. Δόξα Ἡρακλείδου, Μητροδώρου, καὶ Γαλιλαίου. "Ἡρακλείδης γὰρ ὁ ,,Ποντικὸς ἔφασκε τὸν Κομήτην νέφος εἶναι μετάρσιον, ὑπὸ μεταρσίου φω- ,,τὸς καταυγαζόμενον. Καὶ Μητρόδωρος δ' ἔφασκε τὴν εἰς τὰ νέφη τοῦ Ἡλίου ,,βιαίαν ἔμπτωσιν σπινθηρίζειν (4)". Οὐδὲ τούτων ἀνόμοιον ἀπεφαίνετο ὁ Γα- λιλαῖος (5).

Δ'. Δόξα Α'ναξαγόρου, Δημοκρίτου, καὶ Ζήνωνος τοῦ Κιττιέως τὸν Κομή- την εἶναι ὑπειληφότων σύνοδον Α'στέρων δυοῖν, ἢ καὶ πλειόνων κατὰ συναυ- γασμόν (6).

Ε'. "Πυθαγορείων τινῶν Α'στέρα εἶναι φασκόντων τὸν Κομήτην, τῶν ἐκ ,,ἀεὶ φαινομένων, διάτινος δὲ ὡρισμένου χρόνου περιοδικῶς ἀνατελλόντων (7). Συ- ,,ναινεῖ τούτοις καὶ Πλίνιος (8)· καὶ Α'πολλώνιος ὁ Μύνδιος (παρὰ Σένεκα) (9), ,,ὃς καὶ πολλοὺς εἶναι κομήτας Πλάνητας ἔφασκε, καὶ Α'στέρα καθ' ἑαυτὸν εἶναι

---

(1) Πλάτ. Α'ρέσκ. Βιβλ. Γ. Κεφ. Β. (2) Α'ρ. Βιβλ. Α. περὶ Μετεώρ. Κεφ. Ζ. (3) Ὅρα Γρηγ. Βιβλ. Ε. Α'στρ. Φυσ. Τμ. Α. Προτ. Β. Καὶ Α'ργόλου διαλέξει περὶ Κομ. ἔτ. 1652, καὶ 1653· καὶ Γασσένδ. Τμ. Β. τῆς Φυσ. Βιβλ. Ε. Κεφ. Α. Καὶ Κεπλέρου περὶ φυσιολογ. Κομητῶν. (4) Πλάτ. Α'ρεσ. τοῖς Φιλοσ. Βιβλ. Γ. Κεφ. Β. (5) Ὅρα Γασσένδ. Τμ. Β. Φυσ. Βιβλ. Ε. Κεφ. Α. (6) Α'ρεσκ. Βιβλ. Γ. Κεφ. Β. καὶ Σέν. Βιβλ. Ζ. ζητημ. Φυσ. Κεφ. 19. (7) Α'ρεσκ. Βιβλ. Γ. Κεφ. Β. (8) Βιβλ. Β. Φυσ. ἱστορ. Κεφ. Κς. (9) Βιβλ. Ζ. ζητ. Φυσ. Κεφ. Γ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΝΙΚΟΛΑΟΣ Ο. ΠΕΤΡΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κεφ. ΙΔ'. „τὸν Κομήτην, ὥσπερ Ἡλίου, ἢ Σελήνης, μηδὲ προφανῆ τούτου εἶναι τὸν δρό-„μον, τέμνειν δὲ τὰ μετέωρα τοῦ κόσμου, καὶ τέως ἀναφαίνεσθαι, ἐπειδὰν ἐπὶ τὰ „ἔσχατα τῆς πορείας αὐτοῦ ἵκηται.“ Καὶ αὐτὸς δὲ ὁ Σένεκας τὴν δόξαν ταύτην ὡς ἰδίαν προβαλλόμενος, οὐκ οἶμαι, φησὶ (1), τὸν Κομήτην ἐπίκαιρον εἶναι πῦρ, ἀλλὰ τοῖς ἀϊδίοις ἔργοις τῆς φύσεως ἐναρίθμιον.

§. ρμα'.

Ἡ μὲν οὖν Α'. δόξα ψευδὴς ἐλέγχεται Α'. ὅτι οἱ Κομῆται ὑπὲρ τὴν Σελήνην, καὶ πολλοὶ ὑπὲρ τὸν Ἥλιον αὐτὸν ἑρῶνται ἀνατρεφόμενοι, καὶ ἐλάσσονα τῆς Σελήνης, καὶ τοῦ Ἡλίου ἔχοντες τὴν παράλαξιν (2). Β'. ὅτι τοσούτῳ διαρκοῦσι Κομῆται, ὅσῳ ξηρὰ ἀναθυμίασις κατιομένη ἐκ ἂν διαρκέσειε. Πλίνιος μαρτυρεῖ γράφων, τὸν ἐλάχιστον τῆς Κομητῶν διαρκείας χρόνον σεσημειωκέναι ἡμερῶν ἑπτά, τὸν δὲ μέγιστον 80 (3). Ὁ δὲ Σένεκας τὸν ἐπὶ Νέρωνος ἐν ἓξ ὅλοις μησί φησιν ὁρασθῆναι (4). Ὁ δὲ 1680 ὀφθεὶς ἐπὶ μησὶ τέτταρσι διήρκεσε. Οὕτως οὖν, ὡς Ἀριστοτέλης βούλεται, συνιστάμενος τοὺς Κομήτας, πάνυ ἂν βραχυχρονίους τυγχάνειν ὁ φυσικὸς δείκνυσι λόγος (5).

§. ρμβ'.

Ὁ δ' αὐτὸς οὗτος λόγος καὶ κατὰ τῆς Β'. δόξης κρατεῖ, καὶ πρὸς τούτῳ, ὅτι, εἰ τοιαύτη ἦν ἡ τῶν Κομητῶν ἀρχή, διεσκεδάννυντο ἂν αὐτίκα ἐγγὺς Ἡλίου γινόμενοι· τοῦτο δὲ περὶ τοῦ ἀναφανέντος ἔτει 1680 δείκνυσιν ὁ Νεύθων· “ἔ-„στι γάρ φησιν, ἡ Ἡλίου θερμότης, ὡς ἡ τῶν ἀκτίνων πυκνότης, ἤτοι ἀντε-„στραμμένως, ὡς τὸ τετράγωνον τῆς ἀποστάσεως ἀπὸ τοῦ Ἡλίου. Ἐπεὶ τοίνυν ἡ „ἀπὸ κέντρου Ἡλίου ἀπόστασις τοῦ Κομήτου, περιηλίου γεγονότος, ἦν πρὸς τὴν „ἀπὸ κέντρου Ἡλίου τῆς Γῆς ἀπόστασιν, ὡς 6 πρὸς 1000 κεδὸν, ἡ τοῦ Ἡλίου „θερμότης ἐν τῷ Κομήτῃ ἦν τὸ τηνικαῦτα, πρὸς τὴν παρ' ἡμῖν τοῦ θερινοῦ Ἡ-„λίου θερμότητα, ὡς 1000000 πρὸς 36, ἤτοι ὡς 28000 πρὸς 1· ἀλλ' ἡ θερ-„μότης τοῦ ζέοντος ὕδατος ἔστι κεδὸν τριπλασία τῆς θερμότητος, ἣν ἡ αὐχ-„μῶσα γῆ συλλαμβάνει ὑπὸ Ἡλίου θερινοῦ, ὡς πεπείραμαι· καὶ ἡ θερμότης „τοῦ πεπυρακτωμένου σιδήρου, εἰ ὀρθῶς εἰκάζω, κεδὸν τριπλασία τῆς τοῦ ζέον-„τος ὕδατος· ἡ ἄρα θερμότης, ἣν ἡ ξηρὰ γῆ ἐν τῷ Κομήτῃ, περιηλίῳ ὄντι, „ὑπὸ τῶν Ἡλίου ἀκτίνων συλλαμβάνειν δύναται, ἔστι κεδὸν 2000 μείζων τῆς

(1) Αὐτ. Κεφ. ΙΖ. (2) Ὁρα Καλλ. Εἰσαγ. εἰς τὴν ἀληθ. Ἀστρον. Ἀναγν. ΙΖ. Καὶ Οὐόλφ. στοιχ. τῆς Ἀστρ. §. 1145 καὶ 1154. (3) Βιβλ. Β. Φυσ. ἱστορ. Κεφ. 25. (4) Βιβλ. Ζ. ζητ. Φυσ. Κεφ. ΚΑ. (5) Αὐτ. Κεφ. 22, 23. Καὶ Γασσένδ. Τιμ. Β. τῆς Φυσ. Βιβλ. Ε. Κεφ. Α.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„τοῦ πεπυρακτωμένου σιδήρου. Ἀλλ' ἔμπης ὑπὸ τοσαύτης θερμότητος καὶ ἀτμοὶ, Κεφ. ΙΔ.
„καὶ ἀναθυμιάσεις, καὶ πᾶσα ὕλη πτήσιμος, δαπανᾶσθαι παραυτίκα ὤφειλε, καὶ
„διασκεδάννυσθαι (1).“ Ἄρα κτ.

§. ρυγ'.

Διὰ τῶν αὐτῶν δὲ καὶ ἡ τρίτη δόξα καθαιρεῖται. Παρὰ ταῦτα δὲ, ᾗ ὀρθῶς μάλα φησὶ Ῥικκίολος (2), “ὅσα ἐςὶ μετέωρα τῶν κατ' ἔμφασιν, δι' ἀνα-„κάμψεως, ἢ θραύσεως ὁρώμενα, ὀφθαλμῷ ὑποπίπτουσιν κατὰ θέσιν ὡρι-„σμένην, οὐχὶ δὲ ὑπὸ πάντων βλέπεται, οὐδ' ἐπίσης. . . . . Οἱ δὲ Κομῆ-„ται, καὶ κατὰ τὸν αὐτὸν χρόνον, καὶ ὑπὸ τὸ αὐτὸ εἶδος, καὶ σχῆμα, καὶ τοῖς ἐν „διαφόροις, καὶ μακρὰν ἀπεχούσαις χώραις ὡσαύτως παρίςανται.“

§. ρυδ'.

Καὶ ἡ τετάρτη δὲ δόξα ῥαδίως ἀνασκευάζεται. Α'. γὰρ, εἰ ἄθροισμα πολλῶν Ἀςέρων ἦν ὁ Κομήτης, διεκρίνοντο ἂν οἱ ἐν αὐτῷ Ἀςέρες διὰ ἀκριβοῦς τηλεσκοπίου, ὡς οἱ τοῦ Γαλαξίου, καὶ τῶν εἰρημένων νεφελίσκων. Β'. Καὶ ἤδη συνεχῶς φησι Σένεκας (3), “Ἀςὴρ ὑπὸ ἴχνος μεταρσιωτέρου Ἀςέρος ἥ-„κει, καὶ Κρόνος ποτὲ ὑπὲρ τὸν Δία γίγνεται, καὶ Ἄρης Ἀφροδίτην, ἢ Ἑρμῆν εὐ-„θυτενῶς ἀφορᾷ, ἀλλ' ἐκ τούτου, ἡνίκα ἕτερος ἕτερον ὑπέρχεται, Κομήτης οὐ-„δαμῶς συνίςαται. Γ. Καὶ ῥαδίως ἂν διελύετο· οἱ γὰρ ὑπαντώμενοι Ἀςέρες „ἐπὶ πολὺ συνεῖναι οὐδύνανται, καὶ ἀνάγκη αὐτοὺς τῷ νόμῳ τῆς ταχύτητος δια-„ζεύγνυσθαι (4).“ Δ'. Καὶ ἐκ τοῦ ὄγκου, ὃς οὐκ ἂν, εἰμὴ διὰ πάνυ πλείςων Ἀςέρων ἀλλήλοις συνιόντων, τοσοῦτος συςαίη· ἡ δόξα αὕτη ὑπὸ τοῦ αὐτοῦ Σένεκα ἀπελέγχεται (5).

§. ρυδ'.

Ταύτας οὖν τὰς δόξας, ὡς ἥκιςα ἐναλήθως ἐχούσας, ἐκσυρίξαντες, τὴν πέμπτην καὶ αὐτοὶ σὺν Κασσίνῳ, καὶ Νεύθωνι, καὶ Κεϊλλίῳ, καὶ Βιςόνῳ, καὶ Βερνοϋλλίῳ, καὶ Γραβεζανδίῳ, καὶ Γρηγορίῳ, καὶ ἄλλοις ἐπισημοτάτοις ἑλούμεθα, καὶ σώματα εἶναι τοὺς Κομήτας φήσομεν, συναρξάμενα τῷ κόσμῳ, κατὰ περιόδους τεταγμένας, οἱονεὶ Πλάνητές τινες, περιαγόμενα. Καὶ ὅτι μὲν τοιαῦτα τὴν σύμπηξιν, ἐκ τῆς ἀνασκευῆς τῶν ἀνωτέρω ὑπολήψεων λείπεται δεδειγμένον. Ὅτι δὲ καὶ περιόδους ἔχουσιν ὡρισμένας, οἷα δὴ καὶ τὰ λοιπὰ, Ἀλλείου, καὶ Κασσίνου, καὶ Βίςονος, τῶν περικλεῶν ἐν Ἀςρονομίᾳ λαμπροτάταις μαρτυρίαις

(1) Ἀρχ. Φιλ. Μαθ. Βιβλ. Γ. Προτ. 41. (2) Βιβλ. Η. Ἀλμαγ. Τμ. Δ. Κεφ. Ζ. (3) Βιβλ. Ζ. τῶν Φυσ. Ζητημ. Κεφ. ΙΒ. (4) Αὐτ. (5) Αὐτ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΠΛΟΥΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΜΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κεφ. ΙΔ'. διαπιςεῦται. "Μαρτυρεῖ γὰρ Ἀλλέϊος, ἀναμφισβητήτως οἴεσθαι, τὸν ἐν ἔτει „1531 ὑπὸ Ἀσπιανοῦ παρατηρηθέντα Κομήτην, αὐτόπτον εἶναι τὸν ἔτει 1607 „περιγραφέντα τῷ τε Κεπλέρῳ, καὶ Λογγομοντανῷ, καὶ ὃν αὐτὸς ἐπανιόντα „κατεῖδεν ἔτει 1682. Ἅπαντα γὰρ συμφωνεῖ. Εἰδὲ ἡ τῶν περιόδων ἀνισότης δο„κεῖ ἀντιλέγειν, ἅυτη γεμὴν ὐκ ἔςι τοσαύτη, ὡς αἰτίαις φυσικαῖς μὴ ἔχειν „ἀποδοθῆναι (1)." Οἴεται δ' ὁ αὐτὸς καὶ τὸν ἔτει 1456, μὴ διάφορον ἐκείνων γενέσθαι· "ὥςε καταθαρρῆσαι καὶ τὴν αὐτοῦ ἐπάνοδον προειπεῖν ἔτει 1758, ἐ„σομένην· ὡς, εἰ τοῦτο γένηται, ὐκέτι τοῦ λοιποῦ ἀμφισβητεῖν ὑπολείπεται, „τοῦ μὴ μέλλειν καὶ τὰς λοιπὰς ἐπανακάμψειν (2)." Ο' δὲ Κασσῖνος ἡγήσατο, τὸν αὐτὸν Κομήτην ὀφθῆναι ἔτει 1680 καὶ 1577· καὶ τὸν αὐτὸν ὡσαύτως ἔτει 1652 καὶ 1698· καὶ τελευταῖον τὸν αὐτὸν ἔτει 1668 καὶ 1702, τὸν αὐτῷ παρατηρηθέντα· ὅτι δηλ. παραπλησία ἡ ἐκείνων πρὸς τὴν ἐκλειπτικὴν ἔγκλισις ἐωρᾶτο, καὶ οἱ αὐτοὶ δεσμοὶ, καὶ ἡ αὐτὴ ταχύτης, ἅτινα δὴ δυσὶ διαφέρουσι Πλανήταις ὐκ ἂν τὰ αὐτὰ γένοιντο (3). Τελευταῖον δὲ καὶ ὁ ἐυκλεὴς Βίςων ἐν τῷ περὶ τούτων συγγραφέντι, καὶ ἐν Κανταβριγίᾳ ἐκδοθέντι ἔτει 1710· περιθρυλλήτῳ αὐτοῦ Βιβλίῳ, ἀπέδειξεν ἅπαντας τοὺς Κομήτας τοὺς ἀπὸ ἔτους 1337, ἕως ἔτους 1698 παρατηρηθέντας, τὰς αὐτῶν περιόδους ἐπιτελέσαι. Ὥςε ὐχ ὅπως ἀδύνατον οὐκ ἔςι, σώματα καὶ τοὺς Κομήτας τυγχάνειν τῷ κόσμῳ συνδιαμένοντα, κατὰ τοὺς Πλανήτας, ἀλλὰ καὶ λίαν ἐυαληθέςατον.

§. ρμς'.

Ἐρεῖς ἐνιςάμενος, τί ὅτι, εἰ Πλάνητές εἰσι καὶ ἤτοι, τὸν Ζωδιακὸν ὐ διατρέχουσιν; Ἐρῶ ἅπαντῶν, ὡς ὐδὲν ἄτοπον καὶ τούτους, ὥσπερ ἐκεῖνοι, ἴδιον ἔχειν Ζωδιακὸν ἕτερον, ὃν ἐπιβαίνουσι (4). Καὶ μὴν ὁ Κασσῖνος ζώνην ἄλλην αὐτοῖς διωρίσατο, ἣν παρελαύνουσι, καὶ Ζωδιακὸν Κομητικὸν προσεῖπε τὸν τοὺς ἐφεξῆς Ἀςερισμοὺς περιέχοντα.

Ἀντίνοος, Πήγασος, Ἀνδρομέδη, Ταῦρος, Ὠρίων.
Προκύων, Ὕδρος, Κένταυρος, Σκορπίος, καὶ Τόξον.

Ἔνθα ὐδὲ τοῦτο παραλειπτέον, ὅτι καὶ οἱ Κρόνου, καὶ Διὸς δορυφόροι, Πλάνητες ὄντες, τὸν Ζωδιακὸν ὐδαμῶς ἀφορῶσιν, ἐν τῷ περὶ τοὺς Ἀρχικωτέρους αὐτῶν περιάγεσθαι. Οὐδὲ μείζονα τῆς ἀνωτέρω ἐπιδέχεται ἀπορίαν τὸ διὰ τῆς

(1) Ἐν τῇ Κομητογραφίᾳ τῇ ἐμπεριεχομένῃ, in Transact. phil. Ἔτ. 1705. Ἀριθ. 297. (2) Αὐτ. (3) Ἐν τοῖς Πρακτ. τῆς βασιλ. Ἀκαδ. Ἔτ. 1699, καὶ 1708. (4) Ὅρα Σένεκα Βιβλ. Ζ. Φυσ. Ζητ. Κεφ. 18.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΕΟΛΑΜΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κόμης ὁρᾶσθαι τὰς Ἀστέρας (εἰώθασι γὰρ καὶ τοῦτο προτείνειν)· ἐπεὶ δὲ διὰ τοῦ σώματος ἀντιπεσόντος. Ἔπισης δὲ κοῦφον καὶ τὸ Γ'. ὃ φασιν, ὅτι οὐδεὶς Πλανήτης ὁ σφαιροειδής. Τί γὰρ εἰ καὶ Κομήτης; Ἀλλ' ἡ κόμη φασὶ προμηκεστέρα. Καὶ μὴν αὕτη τῶν περὶ τὸν Κομήτην, ὡς εἰρήσεται. Ἔπειτα δ' οὐδὲν κωλύει τὸν Κομήτην Ἀστέρα εἶναι καὶ κόμην φέροντα, ὥσπερ καὶ τὸν Κρόνον δακτύλιον ἔχοντα. Οὐδὲ τὸ ποικίλον, καὶ ἀνόμοιον, ὃ Δ'. ἀντιφέρουσι, τῶν Κομητῶν τῆς Ἀστέρων χορείας τῶν Πλανωμένων ἐξίστησι· ἧπερ γὰρ καὶ καὶ οἱ κοινῇ γινωσκόμενοι Πλάνητες ἀλλήλων εἰσὶν ἀνομοιότατοι, καὶ χροιὰς, καὶ θέσεις, καὶ σχήματα, καὶ περιόδους, καί τοι Ἀστέρες τῷ Οὐρανῷ συνδιαρκοῦντες ὁμολογούμενοι. Οὐδ', ὃ φασιν ς'. πλείονα λόγον ἔχει τῶν ἀνωτέρω, ὅτι ἀπὸ μείζονος ἐλάττων προϊὼν ὁ Κομήτης ἀναδείκνυται· δυνατὸν γὰρ ὁρᾶσθαι ἐλάσσονα, ἢ μᾶλλον ἡμῶν ἀπαγόμενόν τε, καὶ ἀφιστάμενον, ἢ καὶ προσιόντα, διὰ τὸ ἀπηυγασμένον μέρος πρὸς Ἥλιον τρέπεσθαι, καὶ μέρος ἐκείνου σὺν τῷ ἀφωτίστῳ πρὸς ἡμᾶς προβάλλεσθαι, ὃ καὶ Σελήνῃ συμβαίνει, καὶ τοῖς ἄλλοις Πλανήταις. Τὸ ἐκ τοῦ ἀνίσου τῶν περιόδων προτεινόμενον ἔσχατον ἔχειν τινὰ ἀπορίαν δοκεῖ· Ἀλλὰ γὰρ καὶ τοῦτο Νεύθων ἐπιλύει, θεωρίαν ὑποθέμενος, καθ' ἣν αἱ Πλανητῶν περίοδοι, ἐν χρόνοις τεταγμένοις γινόμεναι, ἔχοιεν ἂν ὁριθῆναι (1). Ἵνα γοῦν τοῦ πράγματος ἀκριβέστερον ἁψώμεθα, ἄνωθεν μικρὸν ὁρμησάμενοι εἴπωμεν.

Κεφ. ΙΔ'.

§. ρμζ'.

Σώματά εἰσιν οἱ Κομῆται στερρὰ, ἐδραῖα, ἀντίτυπα, τοῖς τῶν Πλανητῶν σώμασι παραπλησιώτατα. Οὐδὲν ἀφ' ἑαυτῶν ἔχουσι φῶς, ἀλλ' εἴτι καὶ ἔχουσι, φῶς Ἡλίου· ἔνθεντοι καὶ τὸ τούτων, οἷα δὴ καὶ τὸ τῶν Πλανητῶν φῶς, λίαν ἐστὶν ἄτονον· ὁ γὰρ Στέρμιος ὁμολογεῖ, Ουολφίου ἀναφέροντος (2), τηλεσκοπίῳ τὸν ἔτει 1680 Κομήτην παρατετηρηκὼς κατιδεῖν, ὑποζόφῳ τινὶ φωτὶ φαίνοντα, καὶ καπνώδει, μᾶλλον κατὰ τὸ μέσον, ἢ κατὰ τὰ πέρατα, οὐδὲν ὅμοιον παριστῶντα Ἀφροδίτῃ, καὶ Διῒ καὶ τοῖς φαεινοῖς Ἄστροις τοῖς ἐν ἀέτῳ, καὶ λύρᾳ, πρὸς ἃ κατὰ τὸ αὐτὸ διευθύνας ἦν τὸ ὄργανον· Καὶ τὸ σῶμα δὲ τοῦ ἔτει 1661 τῷ Εὐελίῳ παρατετηρημένου Κομήτου (παρὰ τῷ αὐτῷ Οὐολφίῳ) (3) οὐκ ἀκμαῖον τὸ φῶς προβάλλετο, κατὰ δὲ τὸ μέσον πυκνότερον ἐωρᾶτο, καὶ ὑπόζοφον, ὕλῃ λεπτῇ περιεζωσμένον. Καὶ ἐκ πολλῶν δὲ παρατηρήσεων ἤδη

(1) Βιβλ. Γ. Ἀρχ. Φιλ. Μαθημ. Προτ. 42. Ὅρα Γρηγ. Βιβλ. Ε. τῆς Φυσ. Ἀστρ. Τμ. Β. καὶ Γ. Καὶ Ἀλέϊον ἐν τῇ Κομήτογραφ. ἔνθα ἀναπ. Ἀρ. 297. (2) Στοιχ. Ἀστρ. §. 1167. (3) Αὐτόθι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΥΣΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΥΣΙΚΗΣ ΚΟΣΜΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΩΡΟΠΟΥΛΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κεφ. ΙΔ. κατάδηλον, ὡς αὔξει μὲν τὸ ἐκείνων φῶς, τῆς Γῆς ἀφιεσαμένων, καὶ τῷ Ἡλίῳ προσιόντων, καί τοι τοῦ αὐτῶν ὄγκου τῷ τηνικαῦτα μειουμένου, ἐξ οὗ ἐπιφέρει Νεύθων, φαίνειν τοὺς Κομήτας φωτὶ τῷ Ἡλιακῷ ἀπ' αὐτῶν ἀνταναακλωμένῳ (1).

§. ρμη'.

Ἡ τῶν Κομητῶν οὐρὰ οὐδέν ἐστιν ἕτερον, ἢ ἀναθυμίασίς τις πάνυ λεπτὴ, ἡ ἐκ τοῦ Σώματος τοῦ Κομήτου διὰ Ἡλίου θερμότητος θερμαινομένου, ἀποφερομένη, καὶ ἐπὶ τὸ ἀντίθετον τῷ Ἡλίῳ ἀποκρουομένη, καὶ τὸ ἐξ Ἡλίου φῶς εἰς ἡμᾶς ἀνταυγάζουσα. Ἐκεῖνο μὲν οὖν, ὅπερ Ἀππιανὸς ἡγήσατο, καὶ Κάρδανος, καὶ Τύχων, καὶ ὁ Συέλλιος, τὴν τοῦ Κομήτου οὐρὰν, τὸ Ἡλίου φῶς τυγχάνειν, τὸ διὰ τοῦ διαφανοῦς Σώματος τοῦ Κομήτου διαδιδόμενον τοῖς τῶν ὀπτικῶν ἀντιβαίνει νόμοις. Ἡλίου γὰρ Σέλας, ἢ καλῶς ὁ Νεύθων (2), "ἐν ἀυχμηρῷ καταγωγίῳ "οὐκ ἄλλως ὁρᾶται, εἰμὴ καθὸ τὸ φῶς ἐκ τῶν τῆς κόνιος, καὶ τῶν τοῦ καπνοῦ "μορίων, τῶν δὶ Ἀέρος ἀεὶ περιϊπταμένων, ἀνακάμπτεται· ταύτῃ τοι καὶ ἐν "Ἀέρι καπνῶν παχυμερεστέρων πλήρει λαμπρότερον τὸ σελάγισμα, καὶ ἀκ"μαιότερον τὴν αἴθητιν πλῆττον, ἐν δὲ Ἀέρι καθαρωτέρῳ ἀτονώτερον, καὶ "μόλις αἰθητόν· ἐν οὐρανοῖς δὲ ὕλης ἄνευ ἀνταυγαζούσης οὐδὲν ἂν εἴη· οὐ "γὰρ τὸ φῶς καθορᾶται, ἢ ἐστιν ἐν τῷ σελαγίσματι, ἀλλ' ἢ ἐντεῦθεν ἐπὶ τοὺς "ἡμῶν ὀφθαλμοὺς ἀνακάμπτει· οὐ γὰρ ἄλλως τελεῖται ἡ ὅρασις, εἰμὴ διὰ τῶν "προσβαλλουσῶν τῷ ὀφθαλμῷ ἀκτίνων. Ἐναπαιτεῖται ἄρα ὕλη τις ἀνταυγά"ζουσα κατὰ τὴν τῆς οὐρᾶς χώραν, ἵνα μὴ ὁ οὐρανὸς ὅλος ἐπίσης τῷ Ἡλίῳ "διαφαίνῃ φωταγωγούμενος." Οὐχ ἧττον δὲ ἐυέλεγκτον καὶ ὃ φησιν ὁ Καρτέσιος, τὴν οὐρὰν τῶν Κομητῶν διὰ θραύσεως ἀναφύεσθαι, ἣν τὸ φῶς πάσχει ἀπὸ τοῦ σώματος τοῦ Κομήτου ἐπὶ τὸν ὀφθαλμὸν τοῦ θεατοῦ· ἐπειδὴ γάρ, φησιν ἐκεῖνος (3), "τὰ οὐράνια σφαιρίδια ἅ πάντα ἀλλήλοις ἴσα ἐστὶν, μειοῦνται δὲ "κατὰ μικρὸν ἀπό τινος ὅρου, ἐν ᾧ ἡ τοῦ Κρόνου σφαῖρα περιέχεται, μέχρις Ἡ"λίου· ἐντεῦθεν ἕπεται τὰς τοῦ φωτὸς ἀκτῖνας, τὰς διὰ τῶν μειζόνων τούτων "τῶν σφαιριδίων κοινωνουμένας, ἐπὶ τὰ ἐλάσσονα ἀφικνουμένας, μὴ μόνον χρῆ"ναι προϊέναι κατὰ εὐθείας, ἀλλὰ καὶ ἐν μέρει κατὰ τὰς πλευρὰς διαθραύεσθαι, "καὶ διαχεῖσθαι κἀντεῦθεν τὸν Κομήτην, οὐρὰν φέρουτα δοκεῖν, ἢ κόμην, ἢ πώ"γωνα." Εἰ μέν τοι τοῦτο ἐτύγχανε τῆς κόμης τὸ αἴτιον, ἡ κόμη πολύχρους ἂν ἡμῖν ἐωρᾶτο αὕτη διὰ τὴν θραῦσιν κατὰ τὴν ἶριδα, ὡς Νεύθων ὀρθῶς ἀπο-

(1) Βιβλ. Γ. Ἀρχ. Φιλ. Μαθημ. Πορ. Α. Προτ. 39, (2) Βιβλ. Γ. Ἀρχ. Φιλ. Μαθημ. Προτ. 41. (3) Μέρ. Γ. τῶν Ἀρχ. Ἀρ. 134.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΜΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φαίνεται (1). Ἄλλως τε καὶ ψευδές ἐστι τὸ φῶς διὰ τῆς αἰθερίου διϊὸν οὐσίας διαθραύεσθαι, εἰ τοῦτο τὸ ἐξ Ἡλίου καὶ τῶν Ἀστέρων εἰς ἡμᾶς ἧκον, ἥκιστα πάσχει. Ἀλλὰ καὶ ἡ Κομητῶν οὐρὰ, ἣ παρατετήρηκεν ὁ Γρηγόριος (2), ἔσπευδεν ἂν ἀεὶ κατὰ τὰ αὐτὰ τοῦ οὐρανοῦ, εἰ ἐκ τῆς θραύσεως ἀνεφύετο, καὶ μὴν ἐπὶ τὰ ἀντίθετα τοῦ Ἡλίου ταύτην ἀεὶ χωρεῖν πεῖρα ἀμφιλαφὴς δείκνυσι. Κεφ. ΙΔ'.

§. ρυθ'.

Τὸ δὲ τὴν οὐρὰν τοῦ Κομήτου ἐπὶ τὰ ἀντίθετα ἀεὶ τοῦ Ἡλίου προβάλλεσθαι, ὧδέ πως ὁ περικλεὴς ἀναπτύσσει Νεύθων (3). „Καθάπερ, φησὶν, ἐν „τῷ καθ' ἡμᾶς ἀέρι ὁ καπνὸς παντὸς σώματος πεπυρωμένου ζητεῖ τὰ ἄνω, ἢ „πρὸς κάθετον ἐὰν τὸ σῶμα ἠρεμῇ, ἢ πλαγίως, ἐὰν τὸ σῶμα κινῆται κατὰ „πλευρὰν, οὕτως ἐν οὐρανοῖς, ἔνθα τὰ σώματα ἔχει τὴν βάρυνσιν ἐπὶ τὸν „Ἥλιον, οἱ καπνοὶ, καὶ αἱ ἀναθυμιάσεις, ὀφείλουσιν ἀνιέναι ἀπὸ τοῦ Ἡλίου, καὶ „τὰ ἄνω ἢ πρὸς ὀρθὰς ζητεῖν, ἐὰν τὸ καπνίζον σῶμα ᾖ ἠρεμοῦν, ἢ πλαγίως, „ἐὰν μεταβαῖνον τὸ σῶμα, ἀεὶ καταλείπῃ τοὺς τόπους, ἀφ' ὧν τὸ ἀνωτέρω „τῆς ἀναθυμιάσεως ἀνέπτησαν· ἥτε πλαγιότης ἐλάσσων ἔσται, τῆς ἀνόδου „τῶν ἀναθυμιάσεων ταχυτέρας οὔσης, ἤτοι ἐν ταῖς πρὸς Ἥλιον ἐγγύτησι, καὶ „ἐγγὺς τοῦ σώματος τοῦ καπνίζοντος.“ Πιθανώτατον δὲ δοκεῖ, οὐχ ὅπως τὴν καπνώδη ὕλην τὴν ἐκ τοῦ σώματος τοῦ Κομήτου ἀποφερομένην, ἐπὶ τὰ ἀντίθετα τοῦ Ἡλίου διὰ κουφότητα φέρεσθαι, ἀλλὰ καὶ ἀπὸ τῶν Ἡλίου ἀκτίνων ἀπωθεῖσθαι. Πείρᾳ γὰρ διεγνώσθη τὰς Ἡλίου ἀκτῖνας δυνάμεώς τινος εὐμοιρεῖν ἀποκρουστικῆς, τὰ γὰρ πάνυ κοῦφα μόρια ἐν τῇ ἐσχαρίδι τοῦ καυστικοῦ φακοῦ ἐπισήμως ὑπὸ τῶν ἀκτίνων ὠθοῦνται, ὡς παρατετήρηκεν Ὁμβέργιος. „Παρὰ ταῦ„τα σημειοῦντος τοῦ αὐτοῦ εὐκλεοῦς ἀνδρὸς (4), προάγει τὴν τῶν ἀναθυμιάσεων „ἄνοδον, καὶ τὸ περὶ τὸν Ἥλιον ταύτας περιστρέφεσθαι, καὶ διὰ τῆς ἀνόδου ἀεὶ „ἐπείγεσθαι αὐτοῦ ἀποστῆναι.“

§. σ'.

Καίτοι ἡ τῶν Κομητῶν οὐρὰ ἀεὶ τοῦ Ἡλίου ἀφίσταται, οὐ μέντοι τοῦτο πάσχει κατὰ τὴν εὐθεῖαν, τὴν ἀπὸ τοῦ κέντρου τοῦ Ἡλίου διὰ τοῦ κέντρου τοῦ Κομήτου ἀγομένην· ἐκκλίνει δὲ μικρὸν κατὰ τὰ μέρη, ἃ διὰ τῆς ἰδίας κινήσεως τὸ τοῦ Κομήτου σῶμα κατέλιπε, καὶ μικρὸν καὶ καμπυλοῦται, ὡς τὸ μὲν ἐμπρόσθιον εἶναι κυρτὸν, τὸ δὲ κοῖλον. Τούτου δὲ λόγος ἡ διττὴ κίνησις, ἧς ἡ ἀναθυ-

(1) Αὐτ. ἔνθα ἀνωτ. (2) Βιβλ. Ε. Ἀστρ. Φυσ. Τμ. Α. Προτ. Δ. (3) Βιβλ. Γ. Ἀρχ. Φιλ. Μαθημ. Προτ. 41. (4) Αὐτ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΤΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κεφ. 14 μίασις μετέχει, ἡ μὲν δηλονότι, καθ' ἣν σπεύδει ἐπὶ τὰ τῷ Ἡλίῳ ἀντίθετα, ἡ δὲ, καθ' ἣν ἕπεται τῇ κινήσει τοῦ Κομήτου τὴν ἰδίαν τροχιὰν παρελαύνοντος· ταύτης μὲν γὰρ βραδυτέρας οὔσης τῆς κινήσεως τοῦ Κομήτου διὰ τὴν ὁποιανοῦν τοῦ αἰθέρος ἔνεασιν, ἀνάγκη πᾶσα τὴν ἀναθυμίασιν ὁπωσοῦν διακυρτοῦσθαι, ἐπεί τε, ὅσῳ ἄνεισι, τοσούτῳ μανωτέρα γίγνεται, ἤτοι ὅσῳ προμηκεστέρα ἡ οὐρὰ, τοσούτῳ μείζονα τὴν ἀπὸ τοῦ αἰθέρος ἔνεασιν πάσχει, ἐπάναγκές ἐστι τὴν οὐρὰν οὕτω διακυρτοῦσθαι χρῆναι, ὡς τὸ μὲν ἐμπρόσθιον κυρτὸν εἶναι, τὸ δὲ λοιπὸν κοῖλον.

§. σα'.

Τὸ κυρτὸν τῆς οὐρᾶς λαμπρότερον, καὶ ἄμεινον, καὶ ἀκριβέστερον διωρισμένον, ἢ τὸ κοῖλον· ὅτι διὰ τὴν τοῦ αἰθέρος ἔνεασιν, καί τοι βραχεῖαν, πυκνότερον ὁπωσοῦν τὸ κυρτὸν, ἢ τὸ κοῖλον, καὶ πρὸς ἀντανάκλασιν φωτὸς δεξιώτερον· ὡσαύτως δὲ καὶ εὐρυτέρα ἐστὶ κατὰ τὰ ἔσχατα, ἢ παρὰ τῇ κεφαλῇ τοῦ Κομήτου, ὅτι ἡ ἀναθυμίασις, ὅσῳ πρόεισι, τοσούτῳ δίκην καπνοῦ διαμανοῦται. Ἐπὶ τούτοις καὶ αὔξει ἡ οὐρὰ τοῦ Κομήτου προσηλιωτέρου γινομένου, τοὐναντίον δὲ ἀφηλιωτέρου, μειοῦται. Ἀφθονωτέρα γὰρ κατὰ τὴν ἐγγύτητα ἡ ἀποφερομένη ἀναθυμίασις, καὶ ἀραιοτέρα, καὶ μᾶλλον ἐφαπλωμένη.

§. σβ'.

Διὰ τῆς τοῦ Κομήτου οὐρᾶς καὶ οἱ ἐλάχιστοι τῶν Ἀστέρων διορῶνται· διαφανεστάτη ἄρα· πολλῷ ἄρα παχυμερεστέρα ἡ ἀτμοσφαῖρα τῆς Γῆς, δι' ἧς καὶ τὰ τηλαυγέστατα τῶν Ἄστρων κατακαλύπτεται, καὶ τὰ πολλὰ καὶ αὐτὴ Σελήνη. Τοιγαροῦν καὶ οὕτως ἀραιὰ οὖσα ἡ τὴν οὐρὰν τοῦ Κομήτου συνιστῶσα ἀναθυμίασις, γένοιτ' ἂν ἐκ τῆς ἀτμοσφαίρας τοῦ αὐτοῦ δυνάμει τῆς θερμότητος, ἐπὶ πολὺ διαμανωθείσης, καὶ πλεῖστον προεκτανθείσης· οὐδεὶς γὰρ ἀγνοεῖ, εἰς ὅσον ἂν κόκκος λιβανωτοῦ ἔχει μανώσει προεκτανθῆναι.

§. σγ'.

κ. 47. Traiectoria, ἤτοι Διαπόρθμιος, τῶν Κομητῶν καλεῖται, ἣν κινοῦνται γραμμὴν φερόμενοι, ἥτις εὐθεῖα μὲν ἐνομίζετο τοῖς ἀρχαίοις τῶν Φιλοσόφων, καὶ Ἀστρονόμων, καμπύλη δὲ τοῖς καθ' ἡμᾶς ἅπασιν ὁμολογεῖται, ἐλλειψοειδὴς τροχιὰ, ἧς τὴν ἑτέραν τῶν ἐσχαρίδων ἐπέχει Ἥλιος, ὡς ἐλέγομεν περὶ τῶν Πλανητῶν, λίαν μέν τοι ἐκκεντρικὴ, καὶ πάνυ πολὺ τοῦ κύκλου ἀπέχουσα, οἷα ἡ ΑΒΓΔ, ἧς ἐκτὸς οὖσης τῆς Γῆς Γ, τὴν ἐσχαρίδα Η, ἐπέχει Ἥλιος. Ἀθέατος οὖν ἡμῖν ὁ Κομήτης, ἐν ᾧ τὰ ΒΕΓΘΔ τῆς τροχιᾶς αὐτοῦ διατρέχει, ἄρχεται δὲ ὁρᾶσθαι πρὸς Ἥλιον κατιών· καὶ φανερὸς μὲν ἔσται ἐν τῷ τόξῳ ΒΖ, ἀφανὴς δὲ ἐν τῷ ΖΑΛ, διὰ τὴν πολλὴν πρὸς Ἥλιον ἐγγύτητα ταῖς ἐκείνου αὐγαῖς φωτιζόμε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΠΑΣΗ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νος, φαινόμενος δὲ αὖθις κατὰ τὸ ΛΔ. Ὅτι δὲ οὕτω τὰς πορείας αὐτῶν οἱ Κομῆται ποιοῦνται, ἀναμφισβήτητον ἔςησεν ὁ ὀφθεὶς ἔτει 1680. "Ἐώραται γὰρ „οἱονεὶ πρὸς κάθετον καταπίπτων ἐπὶ τὸν Ἥλιον, καὶ ἐξ αὐτοῦ ἴσῃ ταχύτητι „ἀνυψούμενος, ᾗ φησιν ὁ εὐκλεὴς Ἀλλέϊος (1)." Ἦν δὲ ἡ ἐκείνου Traiectoria, οἵαν ἐξ ἀκριβεςάτων παρατηρημάτων μετὰ Εὐέλιον παρέςησε Νεύθων (2), οἵαν ἀμέλει ἀπαιτεῖ ἡ περὶ τὸν Ἥλιον κίνησις, ἐν καμπύλῃ λίαν ἐκκεντρικῇ, ὡς ἀνέπτυκται. Σημειωτέον ἀλλ' οὖν, ὡς τὸ τῆς καμπύλης μέρος, ὃ περὶ τὸν Ἥλιον ὁ Κομήτης καταγράφει, ἐν ᾧ ἡμῖν ἀναφαίνεται, ἤτοι τὸ ΒΖΑΛΔ, δύναται ληφθῆναι ἀντὶ παραβολῆς. Ὥσπερ γὰρ ἡ ἔλλειψις τῶν ἐσχαρίδων ἀμοιβαδὸν προσιουσῶν, εἰς κύκλον τρέπεται, οὕτως ὡρισμένον ἐλλείψεως μέρος, οἷον τὸ ΒΖΑΛΔ, ἀφιςαμένου τὰ μέγιςα τοῦ κέντρου ἀπὸ τῆς ἐσχαρίδος, εἰς παραβολὴν μεταπίπτει. Οὐδὲν οὖν διαφέρει πρὸς ἐπιλογισμὸν τῆς τοῦ Κομήτου κινήσεως, εἴτε κατ' ἔλλειψιν, εἴτε καὶ ἐν παραβολῇ κινεῖσθαι αὐτὸν ὑποτιθέναι.

Κεφ. ΙΔ.

§. σδ'.

Τοῖς πάλαι ὡς δεινοῦτινος ἐπαπειλουμένου ἀνθρώποις ὁ φαινόμενος Κομήτης ἀπαίσιόν τι τέρας ἐκρίνετο· καὶ δυνατὸν δῆθεν εἶναι τοῦτο ἡγούμεθα, Θεοῦ βουλομένου, τοὺς Κομήτας φαινομένους, δεινῶν τινῶν ἐπερχομένων, οἷον λοιμῶν, καὶ λιμῶν, καὶ βασιλειῶν περιτροπῆς, καὶ ἄλλων τηλικούτων ἀγγελιαφόρους ἡμῖν γίνεσθαι, καὶ σημάντωρας. Ἀλλὰ πόθεν τοῦτο ἡμῖν διεγνώρισται, ἢ τίνι ποτὲ καὶ ἀποκεκάλυπται, ἐπὶ τοῖς τοιούτοις τὸ Θεῖον τοῖς Κομήταις χρήσεσθαι, ὡς Ἀγγέλοις. Λῆρος τὰ τοιαῦτα, καὶ πολλὴ φλυαρία, καὶ δυςήνων ἀνθρωπαρίων (οἷς οὐκ ἀρκεῖ τὰ ἐπισκήπτοντα τῶν κακῶν, διὸ καὶ ἄλλα μέλλει πλάττειν), φοβουμένων, οὗ οὐκ ἔςι φόβος, ἄλογος πτόησις. Πεπτώκασι δῆθεν (δεῖ γὰρ τ' ἀληθὲς ὁμολογεῖν), Κομητῶν ἀναφανέντων, βασιλεῖς πολλάκις (3), ἀλλὰ καὶ πολλοὶ Κομῆται ὤφθησαν, φησὶν Ἰούλιος ὁ Σκαλιγέρος (4), οἷς οὐδεὶς παρηκολουθηκὼς φέρεται ὄλεθρος ἀνθρώπων.

"Ἀλλ' εἴη ἄντις τυχὸν, ὃς εἰκάζων σὺν τῷ Δᾶδ Γρηγορίῳ (5) εἴποι, ὡς „ἐὰν ἡ Κομήτου οὐρὰ τῆς περὶ ἡμᾶς ἀτμοσφαίρας ἅψαιτο, ἢ γοῦν, ἐὰν ἡ ταύ„της ὕλη διὰ τῶν οὐρανῶν διασπαρεῖσα, διὰ τὴν ἐνοῦσαν αὐτῇ βαρύτητα κά„τω ἐν μέρει ὡς ἡμᾶς γένηται, αἱ, ἐξ ὧν ἐκείνη συνέςηκεν, ἀναθυμιάσεις,

(1) Ἐν τῇ Κομητογραφίᾳ. (2) Βιβλ. Γ. Ἀρχ. Φιλ. Μαθημ. Προτ. 41. (3) Ὅρα Ἡικκίολ. Βιβλ. Η. Ἀλμαγ. Τμ. Α. Κεφ. Ε. Ἀρ. ΙΑ. (4) Γυμνασμ. οθ. περὶ Λεπτότ. πρὸς Κάρδανον. (5) Βιβλ. Ε. Φυσ. Ἀςρ. Τμ. Α. Πορ. Β. Προτ. Δ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κεφ. 14. „συναναχραθεῖσαι τῇ ἀτμοσφαίρᾳ, ἅτε δὴ ὑγρὰι ὑγρᾷ, δύναιντο ἂν τῷ παρ„ἡμῖν Ἀέρι μεταβολὰς, καὶ μάλιστα τοῖς ζώοις, καὶ τοῖς φυτοῖς ἐπισημοτέρας „ἐπενεγκεῖν. Αἱ γὰρ ῥηθεῖσαι ἀναθυμιάσεις ἀπὸ χωρῶν μακρῶν τε, καὶ ἀλλο„τρίων ἥκουσαι, καὶ μεγίστῃ θερμότητι διαταραττόμεναι, τῇ τῶν γηΐνων κράσει „δυσμενεῖς ἴσως ἔσονται, καὶ ὀλέθριοι." Αὕτη γεμὴν ψιλὴ τυγχάνει ὑπόνοια, οὐδὲ γὰρ δῆλον, εἰ δυσμενεῖς αἱ ἀναθυμιάσεις ἐκεῖναι, ἢ γοῦν μᾶλλον εὐμενεῖς τε, καὶ φίλαι γένοιντο καὶ σωτήριοι. Περὶ μὲν οὖν Κομητῶν τοσαῦτα.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΙ ΦΙΛΟΣΟΦΙΚΩΝ ΠΕΣΙΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006